τῶν μὲν ΑΒ ΓΔ ἰσάκις πολλαπλάσια τὰ ΗΚ ΛΝ· τῶν δὲ
ΕΒ ΖΔ, ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια τὰ ΘΞ
ἀτ̊ ἀνεστρ̊: ΜΠ· εἰ ἄρα ὑπερέχει τὸ ΗΚ τοῦ ΘΞ, ὑπερέχει καὶ τὸ ΛΝ
τοῦ ΜΠ· καὶ εἰ ἴσον, ἴσον· καὶ εἰ ἔλαττον, ἔλαττον· ὑπερε-
χέτω δὴ τὸ ΗΚ τοῦ ΘΞ· καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ΘΚ·
ὑπερέχει ἄρα καὶ τὸ ΗΘ τοῦ ΚΞ· ἀλλ' εἰ ὑπερεῖχεν τὸ
ΗΚ τοῦ ΘΞ· ὑπερεῖχεν καὶ τὸ ΛΝ τοῦ ΜΠ· ὑπερέχει ἄ-
ρα καὶ τὸ ΛΝ τοῦ ΜΠ· καὶ κοινοῦ ἀφαιρεθέντος τοῦ ΜΝ·
ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ· ὥστε εἰ ὑπερέχει τὸ ΗΘ
τοῦ ΚΞ, ὑπερέχει καὶ τὸ ΛΜ τοῦ ΝΠ· ὁμοίως δὴ δεί-
ξομεν ὅτι κἂν ἴσον ᾖ τὸ ΗΘ τῷ ΚΞ, ἴσον ἔσται καὶ
τὸ ΛΜ τῷ ΝΠ· κἂν ἔλασσον ἔλασσον· καί ἐστι τὰ μὲν
ΗΘ ΛΜ τῶν ΑΕ ΓΖ ἰσάκις πολλα-
πλάσια· τὰ δὲ ΚΞ ΝΠ τῶν ΕΒ
ΖΔ, ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλα-
ἀτ̊ ὀρ: πλάσια· ἔστιν ἄρα ὡς τὸ ΑΕ πρὸς
τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΔΖ· ἐ-
ὰν ἄρα συγκείμενα μεγέθη ἀνά-
λογον ᾖ, καὶ διαιρεθέντα ἀνάλο-
γον ἔσται· ὅπερ ἔδει δεῖξαι:

ιη' ἐὰν διῃρημένα μεγέθη ἀνάλογον ᾖ, καὶ συντεθέν-
τα ἀνάλογον ἔσται· ἔστω διῃρημένα μεγέθη ἀνά-
λογον τὰ ΑΕ ΕΒ ΓΖ ΖΔ· ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως
τὸ ΓΖ πρὸς τὸ ΖΔ· λέγω ὅτι καὶ συντεθέντα ἀνάλογον
ἔσται· ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς τὸ ΖΔ·
εἰ γὰρ μή ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ πρὸς



τὸ ΖΔ· ἔσται ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως τὸ ΓΔ ἤτοι πρὸς
ἔλασσόν τι τοῦ ΖΔ ἢ πρὸς μεῖζον· ἔστω πρότερον πρὸς
ἔλασσον τὸ ΔΗ· καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ, οὕτως
τὸ ΓΔ πρὸς ΔΗ συγκείμενα μεγέθη ἀνάλογόν ἐστιν· ὥστε ἀτ̊ ιζ:
καὶ διαιρεθέντα ἀνάλογον ἔσται· ἔστιν ἄρα ὡς τὸ ΑΕ ἀτ̊ ια
πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΗ πρὸς τὸ ΗΔ· ὑπόκειται δὲ καὶ
ὡς τὸ ΑΕ πρὸς τὸ ΕΒ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ· καὶ ὡς
ἄρα τὸ ΓΗ πρὸς ΗΔ, οὕτως τὸ ΓΖ πρὸς τὸ ΖΔ· μεῖζον δὲ
τὸ πρῶτον τὸ ΓΗ τοῦ τρίτου τοῦ ΓΖ· μεῖ- ἀτ̊ ιδ:
ζον ἄρα καὶ τὸ δεύτερον τὸ ΗΔ τοῦ τετάρτου τοῦ
ΖΔ· ἀλλὰ καὶ ἔλασσον· ὅπερ ἐστὶν ἀδύ-
νατον· οὐκ ἄρα ἐστὶν ὡς τὸ ΑΒ πρὸς τὸ ΒΕ.
οὕτως τὸ ΓΔ πρὸς ἔλασσον τοῦ ΔΖ· ὁμοί-
ως δὴ δείξομεν ὅτι οὐδὲ πρὸς μεῖζον·
πρὸς αὐτὸ ἄρα· ἐὰν ἄρα διῃρημένα μεγέθη ἀνάλο-
γον ᾖ, καὶ συντεθέντα ἀνάλογον ἔσται· ὅπερ ἔδει δεῖξαι:

ιθ' ἐὰν ᾖ ὡς ὅλον πρὸς ὅλον, οὕτως ἀφαιρεθὲν πρὸς
ἀφαιρεθέν, καὶ τὸ λοιπὸν πρὸς τὸ λοιπὸν ἔσται ὡς ὅλον
πρὸς ὅλον· ἔστω γὰρ ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ.
οὕτως ἀφαιρεθὲν τὸ ΑΕ πρὸς ἀφαιρεθὲν τὸ ΓΖ·
λέγω ὅτι καὶ λοιπὸν τὸ ΕΒ πρὸς λοιπὸν τὸ ΖΔ ἔσται
ὡς ὅλον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ· ἐπεὶ γάρ ἐστιν ὡς ὅ-
λον τὸ ΑΒ πρὸς ὅλον τὸ ΓΔ, οὕτως τὸ ΑΕ πρὸς τὸ ΓΖ· ἀτ̊ ις:
καὶ ἐναλλὰξ ὡς τὸ ΒΑ πρὸς τὸ ΑΕ, οὕτως τὸ ΔΓ πρὸς τὸ ΓΖ·
καὶ ἐπεὶ συγκείμενα μεγέθη ἀνάλογόν ἐστι, καὶ διαιρε- ἀτ̊ ιζ
θέντα ἀνάλογον ἔσται· ὡς ἄρα τὸ ΒΕ πρὸς τὸ ΕΑ, οὕ